**Bijlage VWO**

# 2009

tijdvak 1

## Grieks

Tekstboekje

## Tekst 1

*Aphrodite probeert op het slagveld Aeneas in veiligheid te brengen.*

Καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ' ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
μήτηρ, ἥ μιν ὑπ' Ἀγχίσῃ τέκε βουκολέοντι·
ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψεν,
ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
Ἡ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·
οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων
τάων ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ' ὅ γε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
νόσφιν ἀπὸ φλοίσβου, ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ' ἐπαΐξας καλλίτριχας ἵππους
ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δῶκε δὲ Δηϊπύλῳ ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
τῖεν ὁμηλικίης, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη,
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· αὐτὰρ ὅ γ' ἥρως
ὧν ἵππων ἐπιβὰς ἔλαβ' ἡνία σιγαλόεντα,
αἶψα δὲ Τυδεΐδην μέθεπε κρατερώνυχας ἵππους
ἐμμεμαώς· ὁ δὲ Κύπριν ἐπῴχετο νηλέϊ χαλκῷ,
γιγνώσκων ὅ τ' ἄναλκις ἔην θεός, οὐδὲ θεάων
τάων αἵ τ' ἀνδρῶν πόλεμον κάτα κοιρανέουσιν,
οὔτ' ἄρ' Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
Ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων,
ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς
ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξέϊ δουρὶ
ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν
ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες κάμον αὐταί,
πρυμνὸν ὕπερ θέναρος· ῥέε δ' ἄμβροτον αἷμα θεοῖο,
ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν·
οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον·

τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
Ἡ δὲ μέγα ἰάχουσα ἀπὸ ἕο κάββαλεν υἱόν·
καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων
κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δ' ἐπὶ μακρὸν ἄϋσε βοὴν ἀγαθὸς Διομήδης·
“Εἶκε, Διὸς θύγατερ, πολέμου καὶ δηϊοτῆτος·
ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
Εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀΐω
ῥιγήσειν πόλεμόν γε καὶ εἴ χ' ἑτέρωθι πύθηαι.”
Ὣς ἔφαθ', ἡ δ' ἀλύουσ' ἀπεβήσετο, τείρετο δ' αἰνῶς·
τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα ποδήνεμος ἔξαγ' ὁμίλου
ἀχθομένην ὀδύνῃσι, μελαίνετο δὲ χρόα καλόν.
Εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω·
ἡ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους·
“Φίλε κασίγνητε, κόμισαί τέ με δὸς δέ μοι ἵππους,
ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί.
Λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνήρ,
Τυδεΐδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.”
Ὣς φάτο, τῇ δ' ἄρ' Ἄρης δῶκε χρυσάμπυκας ἵππους·
ἡ δ' ἐς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ,
πὰρ δέ οἱ Ἶρις ἔβαινε καὶ ἡνία λάζετο χερσί,
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην.
Αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον.

*Homerus, Ilias 5, 311-367*

*Aantekeningen*

*regel 313* **βουκολέω** runderen hoeden
*regel 315* **τὸ πτύγμα** plooi
*regel 318* **ὑπεκφέρω** weghalen uit
*regel 319* **ἡ συνθεσίη** opdracht
*regel 322* **ὁ φλοῖσβος** lawaai
*regel 325* **περί** + *gen.* meer dan
*regel 329* **κρατερῶνυξ** met sterke hoeven
*regel 335* **ἐπορέγομαι** zijn hand uitstrekken
*regel 336* **μεθάλλομαι** er op los springen
*regel 337* **ἀβληχρός** teer
**εἶθαρ** terstond
**ἀντιτορέω** + *gen.* dringen in
*regel 339* **τὸ θέναρ** handpalm

*regel 340* **ὁ ἰχώρ** godenbloed
*regel 342* **ἀναίμων** zonder bloed
*regel 349* **ἠπεροπεύω** bedriegen
*regel 351* **ἑτέρωθι** elders
*regel 352* **ἀλύω** buiten zichzelf zijn van pijn
*regel 354* **μελαίνομαι** donker worden
*regel 357* **γνύξ** met gebogen knie
*regel 358 en 363* **χρυσάμπυξ** met gouden hoofdband
*regel 364* **ἀκηχεμένη** = **ἀκαχημένη**

## Illustratie




## Tekst 2

*Briseïs spreekt:*
“Arme Patroklos, op wie mijn rampzalige hart zo gesteld was!
Levend liet ik je achter, toen ik de kamphut verliet, en
nu ik terugkom, Patroklos, jij hoofd van het volk der Achaeërs,
vind ik je dood. Zo treft mij het ene verdriet na het ander.
Hem wie mijn vader en edele moeder me hadden geschonken
vond ik verscheurd door het vlijmscherpe brons voor de stadsburcht.
Drie van mijn broers, uit een en dezelfde moeder geboren,
broers die mij dierbaar waren, beleefden allen hun doodsdag.
Maar toen de snelle Achilles mijn man om het leven gebracht had
en hij de stad van de godlijke Mynes verwoest had, liet jij me
niet met mijn tranen alleen en heb je beloofd mij tot vrouw van
de edele Achilles te maken en mij op de schepen naar Fthia

299 over te brengen en bij zijn volk onze bruiloft te vieren.
300 Bitter beween ik je dood, jij die altijd de minzaamheid zelf was.”
301 Zo sprak ze wenend en klagend en met haar klaagden de vrouwen,
302 eerst om de dood van Patroklos, dan elk om haar eigen ellende.

303 Αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
304 λισσόμενοι δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων·
305 “Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
306 μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
307 ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει·
308 δύντα δ' ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης.”
309 Ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
310 δοιὼ δ' Ἀτρεΐδα μενέτην καὶ δῖος Ὀδυσσεύς,
311 Νέστωρ Ἰδομενεύς τε γέρων θ' ἱππηλάτα Φοῖνιξ,
312 τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
313 τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
314 Μνησάμενος δ' ἁδινῶς ἀνενείκατο φώνησέν τε·
315 “ Ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
316 αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
317 αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
318 Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.
319 Νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
320 ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
321 σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
322 οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
323 ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
324 χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
325 εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
326 ἠὲ τὸν ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱός,
327 εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
328 Πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
329 οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
330 αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
331 ὡς ἄν μοι τὸν παῖδα θοῇ ἐνὶ νηῒ μελαίνῃ
332 Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα,
333 κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.

Ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχησθαι
γήραΐ τε στυγερῷ καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.”
Ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες,
μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον.

*Homerus, Ilias 19, 287-339*

*Aantekeningen*
*regel 303* **ἀγερέθομαι** zich verzamelen
*regel 309* **ἀποσκεδάννυμι** laten weggaan
*regel 315* **δυσάμμορος** zeer ongelukkig
*regel 316* **λαρός** smakelijk
*regel 317* **ὀτραλέως** snel
*regel 320* **ἄκμηνος** + *gen.* zonder gebruik te maken van
*regel 324* **τὸ χῆτος** gemis
*regel 325* **ῥιγεδανός** verschrikkelijk

## Tekst 3

*Hector komt aan bij het huis van Paris en Helena. Hij verwijt Paris dat hij rustig thuis zit, terwijl de anderen buiten de stad strijden. Helena probeert Hector daarop gunstig te stemmen en zegt:*

“Maar kom binnen en ga op deze stoel zitten,
zwager. Want jij hebt het meest zorgen in je hart
vanwege mij, onbeschaamde, en vanwege de verblinding van Alexander,
aan wie Zeus een slecht lot gaf, opdat we ook later
voor de mensen in de toekomst stof voor een lied zullen leveren.”
Τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
“Μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις·
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν.
Ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτός,
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψῃ ἐόντα.
Καὶ γὰρ ἐγὼν οἶκόνδε ἐλεύσομαι, ὄφρα ἴδωμαι
οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
Οὐ γὰρ οἶδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις,
ἦ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν.”

369 Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
370 αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας,
371 οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν,
372 ἀλλ' ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐϋπέπλῳ
373 πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
374 Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
375 ἔστη ἐπ' οὐδὸν ἰών, μετὰ δὲ δμῳῇσιν ἔειπεν·
376 “Kom, slavinnen vertel me de waarheid.
377 Waarheen is Andromache met de blanke armen gegaan vanuit het paleis?”

*Homerus, Ilias 6, 354–377*

*Aantekeningen*

*regel 360* **περ** = **καίπερ**
*regel 361* **ἐπέσσυται** (hij) spoort aan
*regel 362* **ἐμεῖο** = **ἐμοῦ**
**ἀπεόντος** = **ἀπόντος**
*regel 363* **ὄρνυθι** *gebiedende wijs enkelvoud van* **ὄρνυμι**
**τοῦτον** *bedoeld wordt Paris*
**ἐπειγέσθω** (hij) moet zich haasten
*regel 364* **ὥς κεν** opdat
**πόλιος** *gen. van* **πόλις**
**καταμάρπτω** inhalen
*regel 366* **ὁ οἰκεύς, οἰκῆος** dienaar
*regel 367-368* **εἰ** … **ἦ** of … of dat
*regel 367* **ὑπότροπος** terug(kerend)
*regel 368* **δαμόωσιν** *3e pers. mv. fut. van* **δάμνημι**
*regel 372* **ἐΰπεπλος** met een mooi gewaad
*regel 373* **γοόωσα** = **γοάουσα**
*regel 374* **τέτμεν** (hij) trof aan
*regel 375* **ἔειπεν** = **εἶπεν**